**ETA SIGMA PHI 73rd Annual Greek Translation Contest (2022)**

**Koine Greek**

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

Judah and the Jews celebrate the restoration of the Temple and legislate the celebration of Chanukah.

τὴν δ᾽ ἐρήμωσιν τοῦ ναοῦ συνέβη γενέσθαι κατὰ τὴν Δανιήλου προφητείαν πρὸ τετρακοσίων καὶ ὀκτὼ γενομένην ἐτῶν· ἐδήλωσεν γάρ, ὅτι Μακεδόνες καταλύσουσιν αὐτόν.

Ἑώρταζε δὲ ὁ Ἰούδας μετὰ τῶν πολιτῶν τὴν ἀνάκτησιν τῆς περὶ τὸν ναὸν θυσίας ἐφ᾽ ἡμέρας ὀκτὼ μηδὲν ἀπολιπὼν ἡδονῆς εἶδος, ἀλλὰ πολυτελέσι μὲν καὶ λαμπραῖς ταῖς θυσίαις κατευωχῶν αὐτούς, ὕμνοις δὲ καὶ ψαλμοῖς τὸν μὲν θεὸν τιμῶν αὐτοὺς δὲ τέρπων.

τοσαύτη δ᾽ ἐχρήσαντο τῇ περὶ τὴν ἀνανέωσιν τῶν ἐθῶν ἡδονῇ μετὰ χρόνον πολὺν ἀπροσδοκήτως ἐν ἐξουσίᾳ γενόμενοι τῆς θρησκείας, ὡς νόμον θεῖναι τοῖς μετ᾽ αὐτοὺς ἑορτάζειν τὴν ἀνάκτησιν τῶν περὶ τὸν ναὸν ἐφ᾽ ἡμέρας ὀκτώ.

καὶ ἐξ ἐκείνου μέχρι τοῦ δεῦρο τὴν ἑορτὴν ἄγομεν καλοῦντες αὐτὴν "φῶτα" ἐκ τοῦ παρ᾽ ἐλπίδας οἶμαι ταύτην ἡμῖν φανῆναι τὴν ἐξουσίαν τὴν προσηγορίαν θέμενοι τῇ ἑορτῇ.

[ὁ δὲ Ἰούδας] τειχίσας ἐν κύκλῳ τὴν πόλιν καὶ πρὸς τὰς ἐπιδρομὰς τῶν πολεμίων πύργους οἰκοδομησάμενος ὑψηλοὺς φύλακας ἐν αὐτοῖς ἐγκατέστησεν.

ἐρήμωσις desolation
Μακεδών Macedonian

ἑορτάζω celebrate
ἀνάκτησις regaining, restoration
πολυτελής costly
λιπαρός magnificent
κατευχέω entertain sumptuously
τέρπω delight

χράομαι enjoy (+ dat.)
ἀνανέωσις renewal
ἀπροσδοκήτως unexpectedly
ἐξουσία authority
θρησκεία religion
ὡς that, so that, so as to
τίθημι establish

ἐκεῖνο that time

δεῦρο now, the present
ἐκ τοῦ from the fact that
παρά contrary to
οἶμαι I think
προσηγορία appellation,
ἑορτή festival, holiday

τειχίζω build a wall
ἐπιδρομή attack
οἰκοδομέω build
ἐγκαθίστημι put in